UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

Demosthenes

Aureliae Allobrogum, 1607

De Rhodiorum libertate

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

A περὶ τῶν πρὸς αὑτοὺς διηνέχθησαν διαφορῶν, ὅσα ἂν οὐδὲ καταρώμενος εὕροι τοῖς αὐτοῖς, τοσαῦτα πεπόνθασι κακά. εἶτ' ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει. τοῦτον ἡμεῖς φοβούμεθα; μηδαμῶς· ἀλλὰ μὴ ἀδικῶμεν, ἡμῶν αὐτῶν ἕνεκα, καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ταραχῆς καὶ ἀπιστίας. ἐπεί, εἴγε ὁμοθυμαδὸν ἦν μετὰ πάντων ἐπιθέσθαι μόνῳ· οὐδ' ἀδικεῖν ἂν ἡμᾶς ἔθηκα ἐκεῖνον. ἐπειδὴ δὲ τοῦτ' οὐχ οὕτως ἔχει· φυλάττεσθαί φημι δεῖν μὴ πρόφασιν δῶμεν βασιλεῖ, τοῦ τὰ δίκαια ὑπὲρ τῶν ἄλλων Ἑλλήνων ζητεῖν. ἡσυχίαν μὲν γὰρ ἐχόντων ὑμῶν, ὕποπτος ἂν εἴη, τοιοῦτό τι πράττων. πόλεμον δὲ ποιησαμένων προτέρων εἰκότως ἂν δοκοίη διὰ τὴν πρὸς ὑμᾶς ἔχθραν, τοῖς ἄλλοις φίλος εἶναι βούλεσθαι. μὴ οὖν ἐξελέγξητε, ὡς κακῶς ἔχει τὰ Ἑλληνικά, συγκαλοῦντες ὅτε οὐ πείσονται. καὶ πολεμοῦντες, ὅτε οὐ δυνήσεσθε. ἀλλ' ἔχετε ἡσυχίαν, θαρροῦντες καὶ παρασκευαζόμενοι. καὶ βούλεσθε ἀπαγγέλλεσθαι περὶ ὑμῶν πρὸς βασιλέα, μὴ μὰ Δία, ὡς ἀποροῦσιν, ἢ φοβοῦνται, ἢ θορυβοῦνται πάντες οἱ Ἕλληνες, καὶ οἱ Ἀθηναῖοι. πολλοῦ γε καὶ δεῖ. ἀλλ' ὅτι, εἰ μὴ τοῖς Ἕλλησιν ὁμοίως αἰσχρὸν ἦν B τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν, ὥσπερ ἐκείνῳ καλόν· πάλαι ἂν ὑμεῖς ἐπ' ἐκεῖνον ἐπορεύεσθε. νῦν δὲ τοῦτο μὲν οὐκ ἂν ποιήσαιτε. ὑμῶν ἕνεκα αὐτῶν εὔχεσθε δὲ πᾶσι τοῖς θεοῖς, τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον, ἥνπερ ποτὲ τοὺς προγόνους αὐτοῦ. καὶ ταῦτ' ἂν ἐπίῃ σκοπεῖν αὐτῷ· οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους εὑρήσει. ἐκ μέν γε τῶν πρὸς τοὺς ἑαυτοῦ προγόνους πολέμων, σύνοιδε τὴν πόλιν εὐδαίμονα, καὶ μεγάλην γεγενημένην. ἐκ δὲ τῆς ἡσυχίας. * ἣν ἦγε πρὸ τούτων, οὐδεμιᾶς τῶν ἄλλων Ἑλληνίδων πόλεων τοσοῦτον, ὅσον νῦν ὑπεραίρουσαν, καὶ μὴν, καὶ τοὺς Ἕλληνας ὁρᾷ δεομένους, ἤτοι τινὸς ἑκουσίου, ἢ ἀκουσίου διαλλακτοῦ. τοῦτον δ' αὑτὸν οἶδεν ἂν φανέντα αὐτοῖς, εἰ πόλεμον κινοίη· ὥστε καὶ γνώριμα, καὶ πιστὰ αὐτῷ τῶν ἀπαγγελλόντων ἀκούειν ἔσται. ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μακρὰ λέγων λίαν ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας, ἄπειμι· παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐ- C χθροὺς κελεύω· ἀμύνεσθαι δὲ καὶ βασιλέα, καὶ πάντας, ἂν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ δυνάμει φημὶ δεῖν· ἄρχειν δὲ μηδενὸς, μήτε λόγου, μήτε ἔργου ἀδίκου. τὰ δὲ ἔργα ἡμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται, σκοπῶμεν, μὴ τοὺς ἐπὶ τοῦ βήματος λόγους. κἂν ταῦτα ποιῆτε· καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε. οὐ γὰρ ὀργισθήσεσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ περὶ τῆς τῶν Ῥοδίων ἐλευθερίας λόγου.

Τὸν συμμαχικὸν κληθέντα πόλεμον ἤρατο πρὸς Ἀθηναίους, Χῖοι, καὶ Ῥόδιοι, καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν ὑπήκοοι γενόμενοι, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων. γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δέ, κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο· καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελόμενος, ὀλίγοις τοῖς δυνατωτέροις τὴν πόλιν κατεδούλωσε. συμβουλεύει τοίνυν ὁ Δημοσθένης μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι λέγων τὰς πόλεις. εἰ δὲ ἠδικήκασιν ὑμᾶς Ῥόδιοί φησιν. ἀλλὰ πρέπον ἐστὶν ὑμῖν, καὶ σύνηθες, τό, καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν, μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν.

A de priuatis controuersiis inter se contenderunt: tot mala esse perpessos, quot, si quis eos deuouere vellet, vix reperisset? Quem igitur Fortuna & dij immortales tam amicum inutilem, quam hostem esse conducibilem declarant, eum nos formidamus? Nequaquam: sed ne faciamus iniuriam, nostra causa, & propter cæterorum Græcorum turbas & diffidentiam. Nam si concorditer, adiuuantibus omnibus, solum illum inuadere liceret: ne iniuriam quidem illi à nobis fieri putarem. Sed cum se res aliter habeat: cauendum censeo, ne ansam regi præbeamus, vt iuris cæterorum Græcorum arbiter esse studeat. Quiescentibus enim vobis suspectus esset, si quid tale moliretur. Sin priores bellum moueritis: haud iniuria videbitur propter vestras inimicitias, aliorũ expetere amicitiã. Ne igitur arguere velitis, quàm corrupt' sit Græciæ status, cõuocãdis eis cum non persuadebitis, & gerendo bello cum non poteritis: sed quieti estote, & imperterriti, & instructi: & nũciari de vobis regi velitis, non quidem certè æstuare omnes Græcos, aut metuere, aut tumultuari, & Athenienses. Longè certè aliter se rẽ habere. Atque adeò nisi apud Græcos æque turpe B haberetur mentiri & peierare, vt apud illum præclarum: iampridem vos in illum fuisse impetum facturos. nunc id vos nequaquam facturos vestrapte causa: sed omnes precari deos, vt eadem ipse amentia corripiatur, qua olim maiores eius. Atque hæc si considerare in animum induxerit: vos non negligenter consuluisse vobis inueniet. Neque enim ignorat, è bellis cum suis maioribus gestis, vrbem magnam & felicem esse factam: ex ocio autem quod ante illa tempora egerat, nulla Græcarum vrbium tãto fuisse, quanto nunc, superiorem. Quin Græcos etiam videt pacificatorem requirere vel volentem, vel inuitum. Eum verò semetipsum eis fore intelligit, si bellum mouerit. Quare ea quæ è nunciis audiet, ei & nota & credibilia erunt. Ne verò, Athenienses, prolixitate orationis Peroratio. vobis nimis sim molestus, capitib. mei cõsilij expositis, descendam. Instrui vos, & cõtra certos hostes iubeo: & propulsari etiam Regem, & omnes, si vos C lacessere instituerint, iis copiis oportere censeo: nullius autem iniqui vel facti vel dicti esse autores. Demus operam, vt facta nostra digna sint maioribus, non pro concione habitæ orationes. Quæ si feceritis: & vobisipsis consuletis, & iis qui contrarium suadent. Nam pòst illis non irascemini, quod fieret, si nunc impingeretis.

LIBANII ARGVMENTVM ORATIONIS DE LIBERtate Rhodiorum.

Bellum, quod Sociale dictum fuit, susceperunt aduersus Athenienses Chij & Rhodij & Byzantij: qui cum illis prius paruissent, tunc societatẽ cõntra Athenienses inter se fecerant. Cum autem Rhodij Cariæ vicini essent: se apud Mausolum, eius prouinciæ præfectum, gratia valere putabant. Is paulatim apud eos fide sibi conciliata, insidias populo comparauit: & vrbem, libertate Rhodijs erepta, paucorum potentiorum seruituti subiecit. Suadet igitur Demosthenes, eam rem non esse negligendam, sed iuuandum esse populum Rhodiorum: quòd è re sit Atheniensium, vrbes populari parére imperio. Etsi autem, inquit, Rhodij vos læserunt: tamen vobis & honestum & vsitatum est: eos etiam Græcos, qui vos nonnihil offenderunt, liberare, atque delinquentibus in Rempub. ignoscere.

DEMOSTHENIS DE RHODIORVM LIBERtate Oratio, XV. Hieronymo Vuolfio interprete.

A

Esse è republica Rhodiorum defensionē: neglecto Rege Persarum & Artemisia.

ARBITROR oportere vos, Athenienses, tantis de rebus deliberantes, dare liberè dicendi potestatem vniquique consulentium. Ego verò non putaui vnquā difficile, docere vos quæ optima factu sint (vt enim simpliciter dicam, omnes ea iam antè cognita habere mihi videmini) sed persuadere, vt ea exequamini. Nam cum probatum aliquid, decretúmque est: tantundē ab agendo abest, quantum antequam decerneretur. Est autem illud vnum ex eorum numero, propter quæ dijs immortalibus agendas à vobis esse gratias existimo: quod, qui non ita olim suapte petulantia impulsi, vos bello petierūt: ij nūc in vobis solis spem suæ salutis habēt. Ac gratulatione digna est hæc occasio. Quasi rectè vtemini, fiet, vt eorum qui nostram vrbem calumniantur, maledicta, reipsa & cum bona fama refutetis. Questi enim sunt, sibi nos insidiari, Chij, Byzantij & Rhodij, proptereaque coniunctis viribus postremum hoc bellum nobis intulerūt. Apparebit autē, Mausolum, qui dux & autor eius rei fuit, dum se amicum esse Rhodiorum simulat, libertatem eis eripuisse: Chios & Byzantios, à quibus in societatem adscripti fuerant, cladibus eorum non succurrisse: vos, quos metuebant, solo omnium salutem eorum defendisse. Quæ cū cōnspicientur ab omnibus: efficietis, vt omne plebeij in ciuitatibus, amicitiam vestram incolumitatis suæ tanquam tesseram esse iudicent. Neque verò vobis vllum maius bonum offerri queat, quam si omnes vltrò beneuolētia vos absque vlla suspicione prosequantur. Miror autem, cum eosdem video suadere ciuitati, vt pro defensione Aegyptiorum, Persarum regi aduersetur: in causa Rhodij populi eundem illum hominem formidare: cùm hos esse Græcos sciant omnes: illos ad illius imperium pertinere. Opinor autem meminisse vestrûm quosdam: cum de regio negocio deliberaretur: me pro concione monuisse primum, ac (nisi fallor) solum etiam aut certè cum altero: videri mihi, sapienter vos esse facturos: si causam instructionis, non inimicitias, quæ cum eo intercederent, prætenderetis: sed si & aduersus certos hostes vos pararetis: & illum etiam, si vos lacessere instituerct, vlcisceremini. Neque verò ego cum hæc dixissem, vobis non rectè dicere sum visus: sed vobis etiam eadem placuerunt. Quod igitur nunc dicam, id orationi tum habitæ consentaneum erit. Ego, si Rex me illic degentem, in consilium adhiberet: idem ei suaderem quod vobis: vt pro sua ditione bellum gereret, si quis aduersaretur Græcorum: quæ verò nihil ad eum attinerent, eorum dominatum vti prorsus non vēdicaret. Quòd si omnino decreuistis, Athenienses, quicquid Rex occuparit, anteuertendis & decipiēdis oppidorum magistratibus, concedere non rectè decreuistis, vt ego iudico. Sin tuēdę iustitię causa, & bella gerenda, si sit opus, & quiduis perpetiēdū esse putabitis: primùm, tātò minus hoc necesse vobis erit, quātò constantius ita sentietis: deinde consiliū & iudiciū vestrū probabitur. Iam vt sciatis, neq; me quicquā noui dicere, qui libertatē Rhodiis restitui iubeā: neque vos, si mihi auscultetis, facturos: rē quādā quæ & facta est, & profuit, vobis in memoriā reuocabo.

ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟδίων ἐλευθερίας λόγος.

Οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους, διδόναι παῤῥησίαν ἑκάστῳ τῶν συμβουλευόντων. ἐγὼ δὲ οὐδὲ πώποτε ἡγησάμην χαλεπὸν διδάξαι τὰ βέλτιστα ὑμᾶς (ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε) ἀλλὰ τὸ πράττειν πεῖσαι ταῦτα. ἐπειδὰν γάρ τι δόξῃ, καὶ ψηφισθῇ, τοσοῦτον τοῦ πραχθῆναι ἀπέχει, ὅσον πρὶν δόξαι. ἔστι μὲν οὖν ἓν, ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, τὸ, τοὺς διὰ τὴν αὐτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πάλαι, νῦν ἐν ὑμῖν μόνοις τῆς αὐτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας, ἄξιον δὲ ἡσθῆναι τῷ παρόντι καιρῷ. συμβήσεται γὰρ ὑμῖν (ἐὰν ἃ χρὴ βουλεύσησθε ὑπὲρ αὐτοῦ) τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας, ἔργῳ, μετὰ δόξης καλῆς, ἀπολύσασθαι. ᾐτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπιβουλεύειν αὐτοῖς, χῖοι, καὶ βυζάντιοι, καὶ ῥόδιοι· καὶ διὰ ταῦτα συνέστησαν ἐφ᾽ ἡμᾶς, τὸν τελευταῖον τουτονὶ πόλεμον. φανήσεται δὲ, ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσας μαύσωλος, φίλος εἶναι φάσκων ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος· οἱ δ᾽ ἀποδείξαντες αὐτοὺς συμμάχους, χῖοι, καὶ βυζάντιοι, τοῖς* ἀτυχήμασιν αὐτῶν οὐ βεβοηθηκότες· ὑμεῖς δὲ οὓς ἐφοβοῦντο, μόνοι τῶν πάντων τῆς σωτηρίας* αὐτοῖς αἴτιοι γεγενημένοι. ἐκ δὲ τοῦ ταῦτα ὑπὸ πάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς πόλεσι, τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὐτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτο ἀγαθὸν, ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας. θαυμάζω δ᾽ ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν αἰγυπτίων τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας ὑπὲρ δὲ τοῦ ῥοδίων δήμου φοβουμένους τὸν αὐτὸν ἄνδρα τοῦτον. καί τοι τοὺς μὲν, ἕλληνας ὄντας ἅπαντες ἴσασι· τοὺς δ᾽, ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμερισμένους. οἶμαι δ᾽ ὑμῶν μνημονεύειν ἐνίους, ὅτι ἡνίκα ἐβουλεύεσθε περὶ τῶν βασιλικῶν, παρελθὼν ἐγὼ πρῶτος παρῄνεσα (οἶμαι δὲ καὶ μόνος, ἢ δεύτερος εἰπεῖν) ὅτι μοι σωφρονεῖν ἂν δοκοῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς, μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε· ἀλλὰ

C

παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθρούς· ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. καὶ οὐκ ἐγὼ μὲν ταῦτα εἶπον, ὑμῖν δ᾽ οὐκ ἐδόκουν ὀρθῶς λέγειν· ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα. ἀκόλουθος τοίνυν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι· ἐγὼ γὰρ εἰ βασιλεὺς παρ᾽ αὐτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταῦτ᾽ ἂν αὐτῷ παραινέσαιμι, ἅπερ ὑμῖν· ὑπὲρ μὲν τῶν ἑαυτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν ἑλλήνων. ὧν δὲ μηδὲν αὐτῷ προσήκει· τούτων μὴ δ᾽ ἀντιποιεῖσθαι τὴν ἀρχήν. εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται, φθάσας καὶ παρακρουσάμενός τινας τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς ἐγνώκατε, ὡς ἐγὼ κρίνω. εἰ δ᾽ ὑπέρ γε τῶν δικαίων, καὶ πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν ὁ, τι οὖν ἂν οἴεσθε χρῆναι· πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτου, ὅσῳ μᾶλλον ἂν ἐγνωκότες ἦτε ταῦτα. ἔπειθ᾽ ἃ προσήκει φρονεῖν δόξετε, ὅτι δ᾽ οὐδὲν καινὸν οὔτ᾽ ἐγὼ λέγω νῦν, κελεύων ῥοδίους ἐλευθεροῦν, οὔθ᾽ ὑμεῖς, ἂν πεισθῆτέ μοι, ποιήσετε, τῶν γεγενημένων ὑμᾶς, τι, ᾗ καὶ τῶν συνενηνοχότων, ὑπομνήσω.

ὑμεῖς

A ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντα Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς βασιλέα. ἰδὼν δ' ἐκεῖνος, τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα τοῦ βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ βοηθήσας ἠλευθέρωσε. καὶ μέχρι τῆς τήμερον ἡμέρας, οὐ γέγονε πόλεμος διὰ ταῦθ' ὑμῖν. οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἄν, καὶ ὑπὲρ τῶν ἑαυτοῦ· ἀλλ' ὑπὲρ μὲν ὧν ἐλαττοῦνται, μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν. ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν, οὐχ οὕτως. ἀλλ' ἐφίενται μέν, ἐάν τις ἐᾷ, ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας αὐτοῖς ἡγοῦνται. ὅτι δὲ οὐδ' ἐναντιωθῆναί μοι δοκεῖ τῇ πράξει ταύτῃ νῦν Ἀρτεμισία, τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγμάτων, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτε ὀρθῶς ἐγὼ λογίζομαι ταῦτα, εἴτε καὶ μή. ἐγὼ νομίζω, πράττοντος μὲν ἐν Αἰγύπτῳ πάντα, ὅσ' ὥρμηκε, βασιλέως, σφόδρα ἂν Ἀρτεμισίαν πειραθῆναι ποιήσασθαι Ῥόδον αὐτοῦ, οὐ τῇ B βασιλέως εὐνοίᾳ, ἀλλὰ τῷ βούλεσθαι, πλησίον αὐτοῦ διατρίβοντος ἐκείνου, μεγάλην εὐεργεσίαν καταθέσθαι πρὸς αὐτὸν, ἵν' ὡς οἰκειότατ' αὐτὴν ἀποδέχοιτο. πράττοντος δὲ ὡς λέγεται, καὶ διημαρτηκότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην, ὅπερ ἐστίν, ἄλλο μὲν οὐδὲν εἶναι βασιλεῖ χρησίμην ἐν τῷ παρόντι, τῆς δ' αὐτῆς ἀρχῆς ἐπιτείχισμα, πρὸς τὸ μηδὲν νεωτερίζειν. ὥστε μοι δοκεῖ, μᾶλλον ἂν ὑμᾶς ἔχειν, μὴ φανερῶς αὐτῆς ἐνδούσης, ἢ ἐκεῖνον λαβεῖν βούλεσθαι. οἶμαι μὲν οὖν οὐδὲ βοηθήσειν αὐτήν. ἂν δ' ἄρα τοῦτο ποιῇ, φαύλως καὶ κακῶς. ἐπεὶ τὸν βασιλέα ὅ τι μέν ποτε ποιήσει, μὰ Δί' οὐκ ἂν εἴποιμι ἔγωγε, ὡς οἶδα. ὅτι μέντοι συμφέρει τῇ πόλει δῆλον ἤδη γενέσθαι, πότερα ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων, ἢ οὔ, ταῦτ' ἂν ἰσχυρισαίμην. οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον, ἂν ἀντιποιῆται, μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ πάντων τῶν Ἑλλήνων. οὐ μὴν, οὐδ' ἂν εἰ δι' αὑτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσ' ἂν ὑμῖν τούτους ἑλέσθαι, οὐδ' εἰ πάντα ὑπισχνοῦντο ὑμῖν ποιήσειν. ὁρῶ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας τινὰς C τῶν πολιτῶν. ἐπειδὴ δὲ τοῦτ' ἔπραξαν, πάλιν ἐκβαλόντας τούτους. τοὺς οὖν μηδετέροις πιστῶς κεχρημένους, οὐδ' ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι συμμάχους. καὶ ταῦτα οὐδέποτ' εἶπον ἄν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἡγούμην συμφέρειν. οὔτε γὰρ πρόξενος τῶν ἀνδρῶν, οὔτε ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. ὑμῖν, οὐδ' εἰ ταῦτα ἀμφότερα ἦν, εἰ μὴ συμφέρειν ὑμῖν ἡγούμην, εἶπον ἄν. ἐπεὶ Ῥοδίοις γε (εἰ οἷόν τε τοῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν) συγχαίρω τῶν γεγενημένων. ὅτι τῷ κομίσασθαι τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες, τὴν αὑτῶν ἐλευθερίαν ἀπολωλέκασι. καὶ παρὸν αὐτοῖς Ἕλλησι καὶ βελτίοσιν ὑμῖν αὐτῶν, ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δουλεύουσιν. ὀλίγου δ' ἐδέω λέγειν, ἂν ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ συνενήνοχε ταῦτ' αὐτοῖς. εὖ μὲν γὰρ πράττοντες, οὐκ οἶδ' εἴ ποτ' εὖ φρονῆσαι ἠθέλησαν, ὄντες Ῥόδιοι. ἔργῳ δὲ πειραθέντες καὶ διδαχθέντες, ὅτι πολλῶν κακῶν ἡ ἄνοια πολλοῖς αἰτία γίγνεται, τάχ' ἄν, εἰ τύχοιεν, σωφρονέστεροι πρὸς τὸ λοιπὸν τοῦ χρόνου γένοιντο. τοῦτο δέ, οὐ μικρὸν αὐτοῖς ὠφέλημα ἡγοῦμαι. φημὶ δὲ χρῆναι πειρᾶσθαι σῴζειν τοὺς ἄνδρας, καὶ μὴ μνησικακεῖν, ἐνθυμουμένους, ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευσάντων ἐξηπάτησθε,

A Vos Timotheum aliquando cum imperio misistis, Athenienses, opem laturum Ariobarzani, ad decretum hac adiecta clausula: ne fœdus factum cum Rege violaret. Cum autem ille videret, Ariobarzanem palàm desciuisse à Rege, Samum autem præsidio teneri à Cyprothemide, quem Tigranes Regis præfectus eò collocarat: vt illi opem ferendam esse nō statuit: ita hanc obsidione cinxit, auxilióque suo liberauit. Nec in hunc vsque diem bellum propterea vobis illatum est. Nemo enim est qui pari contentione & rapinas & opes suas proprias defendat. Sed pro his quæ de suo auferūtur, omnes summa vi pugnant: de finibus autem propagādis, opibúsque augendis, non item. Appetunt illi quidem aliena, si nemo prohibeat: sin obsistitur, se ab his qui aduersati sunt, læsos esse non putant. Artemisiam porrò, vbi nostra vrbs iam negotium susceperit, ne aduersaturam quidem esse: paucis auditis, considerate, rectè ne ego sic statuam, an secus. Equidem existimo, si Regi omnia quæ instituit, in Ægypto feliciter succederent, Artemisiam valde daturam fuisse operam: vt Rhodum ei traderet: non tam ex beneuo-B lentia erga Regem: quàm vt, si ille prope ipsam versaretur: magno beneficio sibi eum obligaret, summáque beneuolentia deuinciret. Postquam verò ita cum eo agitur, vt dicitur, suísque conatibus ille frustratus est: existimare, id quod res est, insulam hanc in præsentia Regi ad nihil aliud esse vtilem: sed velut arcem esse regni sui: quæ obstet, ne quid ipsa noui moliatur. Quare mihi quidem videtur, malle à vobis eam teneri, à se palàm non traditam, quàm Regem ea potiri. imò ne adiuturam quidem puto: aut, tametsi hoc fecerit, segniter & obiter facturam. Nam de rege, scire me quid is facturus sit: haud equidem affirmarim: sed è republica esse, vt iam cognoscatur, vtrum ille Rhodiorum vrbem sibi vendicaturus sit, an nō: id ego affirmarim. Nam si eam sibi vendicarit: nō de Rhodiis solum, sed de vobisipsis, atque adeò de Græcis omnibus, erit deliberandum. Quòd si per semetipsos tenerent vrbem, qui nunc in ea sunt Rhodij: non censerē eorum defensionem suscipiendā: tametsi vobis omnia se facturos pollicerētur: quippe quos videā, primùm vt popularem statum euerterent, quosdam sibi ciues ad-C iunxisse: ac re iam confecta, eosdē eiecisse. Cum igitur neutris fidē seruarint, nec vobis eos firmos fore socios putarem. Atq; hæc nunquā dixissem, si ea soli Rhodiorum populo prodesse putarē. Neque enim vel publicum vel priuatū cum vllo eorū hospitium mihi est. Ac tametsi horum vtrunque esset: non tamen hæc dicerē, nisi è re vestra esse crederē. Nam Rhodiis (si tamen hæc à defensore salutis eorum dici fas est) ista accidisse gaudeo: qui, dū ius vestrum vobis negant, suam libertatem perdiderunt: cúmque licuisset eis societatem æquo iure cū Græcis & vobiscum, qui illis antecellitis, colere: Barbaris & seruis, quos in arces recepēre, seruiunt. Ac parum abest quin dicā: Si vos eos iuuabitis, hoc illis etiam profuisse. Nam secūdis rebus haud scio an vnquam ad sanam mentem, quę Rhodiorum ingenia sunt, redissent. Sed re ipsa experti atque edocti, multorum malorum amentiam multis causam existere: fieri fortasse potest, vt fiant in posterum prudētiores, & modestiores. Quam ego rem eis non parum profuturam esse existimo. Dandam autem operam censeo, vt hi viri conseruētur, obliterata memoria iniuriarū. Debetis enim cogitare, vos etiam sæpe multis in rebus ab insidiatorib. esse deceptos:

Per occupationem accusandis Rhodiis, & culpa ab eis in alios transferenda, & emēdatione promittenda periculóquecum auditorib. communicando, & humanitate laudanda, reconciliare populum eis studet.

quarum vllius à vobis pœnas exigi, æquum esse negabitis. Quin illud etiam videte, Athenienses: Multa vos bella gessistis contra & Democratias, & Oligarchias: idque & ipsi nostis. sed quib. de causis aduersus vtrasque pugnaueritis: id nemo fortasse vestrûm considerat. Quæ igitur illę sunt? Cum liberis populis aut propter priuatas iniurias, pro quib. satisfacere publicè non potuerũt: aut pro parte agrorum, aut de finibus, aut propter contentionem honoris, aut de principatu bella geritis. Cum potestate paucorum, pro harum rerũ nulla, dimicatio est: sed de reipub. forma & libertate. Quapropter ego quidem certè dicere nõ dubitem, vtilius videri mihi, vt Græci omnes populari statu vtẽtes, nobiscum belligerent: quàm vt paucorum imperio subiecti, nostram amicitiam colant. Cum liberis enim pacem vos, quandocunque volueritis, non difficulter esse facturos, arbitror. At cum iisdem, si paucorum regantur arbitrio, ne amicitiam quidem fidam fore puto. Nullo enim modo fieri potest, vt pauci multis, atque auidi imperij æqualitatis studiosis bene velint. Miror autem, si nemo vestrûm existimat, si Chij paucorum potestate regantur, & Mitylenæi, & nũc Rhodij, atque omnes propè dixerim homines, illius seruitutis iugum subeant, vestram quoq; rempub. in aliquo fore periculo: neque cogitat, passim Oligarchiis institutis, non posse fieri, vt populi dominatus apud vos relinquatur. Sciunt enim, nullos alios fore libertatis vindices & assertores. Vnde igitur imminere sibi periculũ præuident, eos è medio sublatos volent. Proinde cæteri, qui aliquib. iniuriam faciunt, eorum ipsorum qui lęduntur, hostes putandi sunt. rerumpub. autẽ euersores, paucorúmque potentiæ constitutores, communes hostes omnium eorum, quibus libertas cordi est, me quidem autore, iudicabuntur. Deinde æquum etiam est, vt vos, qui populi autoritate ipsi regi vultis, sic in calamitosos populos animati esse videamini: vt alios in vos esse animatos velletis, si quando (quod Dij prohibeant) tale quippiam accidisset. Nam tametsi dici queat, iurè ita agi cum Rhodiis: vos tamen ratio temporis, malis eorum gaudere non sinit. Quib. enim Fortuna secunda est: hi calamitosis perpetuò rectissimè cõsulere debent: cum nemo omniũ mortalium, quid sit futurũ, exploratũ habeat. Atque ego sæpe hic apud vos commemorantes quosdã audio: cũ nostra vrbs cladẽ accepisset, autores fuisse quosdam eius conseruãdæ. E quibus ego Argiuorũ duntaxat in præsentia breuẽ mentionem faciã. Nolim autem vos, quorũ celebrata est perpetua in afflictos beneficentia: deteriores hac in parte Argiuis videri. qui cum in Lacedæmoniorum vicinia habitarent: viderẽntque illos terra mariq; dominari: nõ dubitarunt, nec veriti sunt ostendere suam erga vos beneuolentiã: sed & legatos Lacedæmone profectos, postulaturos, vt ferunt, ad pœnas quosdam vestrorũ exulum, decreuerunt, ni ante solis occasum recessissent, hostium loco habendos. An non igitur turpe fuerit, Athenienses, cum Argiuorũ vulgus non metuerit Lacedęmoniorum imperiũ illis temporibus, aut potentiã: vos, qui Athenienses sitis, Barbarũ hominem, eámque mulierem, formidare: præsertim quum illi sæpe se victos esse à Lacedæmoniis referre queat: vos sæpe viceritis Regẽ Persarum? victíne semel quidẽ sitis vel à seruis Regis, vel ab illo ipso? Nã sicubi fortasse Rex vrbe fuit superior: aut Græcorũ sceleratissimis, & proditorib. inter eos, largitionib. corruptis, aut nulla alia ratione superior fuit.

A ὧν οὐδενὸς αὐτοὶ δίκην δοῦναι δίκαιον ἂν εἶναι φήσαιτε. ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑμεῖς πεπολεμήκατε πολέμους, καὶ πρὸς δημοκρατίας, καὶ πρὸς ὀλιγαρχίας. καὶ τοῦτο ἴστε μὲν καὶ αὐτοί. ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἐσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ' ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστί; πρὸς μὲν τοὺς δήμους, ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνηθέντων δημοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους, ἢ ὅρων, ἢ φιλονικίας, ἢ τῆς ἡγεμονίας. πρὸς δὲ τὰς ὀλιγαρχίας, ὑπὲρ μὲν τούτων, οὐδενός. ὑπὲρ δὲ τῆς πολιτείας, καὶ τῆς ἐλευθερίας. ὥστ' ἔγωγε, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ἡμῖν, ἢ ὀλιγαρχουμένους, φίλους εἶναι. πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας, οὐ χαλεπῶς ἂν ὑμᾶς εἰρήνην ποιήσασθαι νομίζω ὁπότε βουληθείητε. πρὸς δὲ τοὺς ὀλιγαρχουμένους, οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω. οὐ γὰρ ἔσθ' ὅπως οἱ ὀλίγοι τοῖς πολλοῖς, καὶ οἱ ζητοῦντες ἄρχειν, τοῖς μετ' ἰσηγορίας ζῆν ᾑρημένοις, εὖνοι γένοιντ' ἄν. θαυμάζω δ' εἰ μηδεὶς ὑμῶν ἡγεῖται, Χίων ὀλιγαρχουμένων καὶ Μιτυληναίων, καὶ νυνὶ Ῥοδίων, καὶ πάντων ἀνθρώπων ὀλίγου δέω λέγειν, εἰς ταύτην τὴν δουλείαν ὑπαγομένων, συγκινδυνεύειν τι τὴν παρ'
B ὑμῖν πολιτείαν, μηδὲ λογίζεται τοῦθ' ὅτι οὐκ ἔστιν ὅπως, εἰ δι' ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ' ὑμῖν δῆμον ἐάσουσιν. ἴσασι γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ πράγματ' ἂν ἐπανάξοντας, ὅθεν δή, κακὸν αὐτοῖς ἄν τι γενέσθαι προσδοκῶσι, τοῦτ' ἀνελεῖν βουλήσονται. τοὺς μὲν οὖν ἄλλους τοὺς ἀδικοῦντάς τινας, αὐτῶν τῶν κακῶς πεπονθότων, ἐχθροὺς ἡγεῖσθαι χρή. τοὺς δὲ τὰς πολιτείας καταλύοντας, καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν, κοινοὺς ἐχθροὺς παραινῶ νομίζειν, πάντων τῶν ἐλευθερίας ἐπιθυμούντων. ἔπειτα καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρατουμένους αὐτούς, τοιαῦτα φρονοῦντας φαίνεσθαι περὶ τῶν ἀτυχούντων δήμων, οἷα τοὺς ἄλλους ἀξιώσαιτ' ἂν φρονεῖν περὶ ὑμῶν, εἴποτε, ὃ μὴ γένοιτο, τοιοῦτό τι συμβαίη. καὶ γὰρ εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι. δεῖ γὰρ τοὺς εὐτυχοῦντας, περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι βουλευομένους τὰ βέλτιστα, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις. ἀκούω δ' ἔγωγε πολλάκις ἐνταυθοῖ παρ' ὑμῖν τινων λεγόντων, ὡς ὅτε ἠτύχησεν ἡ πόλις ἡμῶν, συνεβούλευσάν
C τινες αὐτὴν σωθῆναι. ὧν ἐγώ, μόνων Ἀργείων ἐν τῷ παρόντι μνησθήσομαι βραχύ. οὐ γὰρ ἂν ἡμᾶς βουλοίμην δόξαν ἔχοντας τοῦ σώζειν τοὺς ἀτυχήσαντας ἀεί, χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φανῆναι, οἳ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦντες, ὁρῶντες ἐκείνους, γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ ἀπώκνησαν, οὐδ' ἐφοβήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες φανῆναι. ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμονος, ὥς φασιν, ἐξαιτήσοντάς τινας τῶν φυγάδων τῶν ὑμετέρων, ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύνοντος ἀπαλλάττωνται, πολεμίους κρίνειν. εἶτ' οὐκ αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων πλῆθος οὐκ ἐφοβήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς, οὐδὲ τὴν ῥώμην, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι, βάρβαρον ἄνθρωπον, καὶ ταῦτα γυναῖκα φοβηθήσεσθε; καὶ μὴν οἱ μὲν, ἔχοιεν ἂν εἰπεῖν ὅτι πολλάκις ἥττηνται ὑπὸ Λακεδαιμονίων. ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βασιλέα, ἥττησθε δ' οὐδ' ἅπαξ, οὔτε τῶν δούλων τοῦ βασιλέως, οὔτε αὐτοῦ ἐκείνου. εἰ γάρ τοί που, καὶ κεκράτηκε τῆς πόλεως βασιλεύς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν, χρήμασι πείσας, ἢ οὐδαμῶς ἄλλως κεκράτηκε.

καὶ

A καὶ οὐδὲ τοῦτο αὐτῷ συνενήνοχεν. ἀλλὰ μὴν, εὑρήσετε αὐτὸν τήν τε πόλιν λακεδαιμονίων ἀσθενῆ ποιήσαντα, καὶ περὶ τῆς αὑτοῦ βασιλείας κινδυνεύσαντα πρὸς κλέαρχον καὶ κῦρον. οὔτ' οὖν ἐκ τοῦ φανεροῦ κεκράτηκεν, οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ. ὁρῶ δὴ ὑμῶν ἐνίους, φιλίππου μὲν, ὡς ἄρα οὐδενὸς ἀξίου, πολλάκις ὀλιγωροῦντας· βασιλέα δὴ ὡς ἰσχυρὸν ἐχθρὸν, οἷς ἂν προέληται πολεμεῖν, φοβουμένους. εἰ δὲ τὸν μὲν, ὡς φαῦλον οὐκ ἀμυνούμεθα, τῷ δὴ ὡς φοβερῷ πάνθ' ὑπείξομεν· πρὸς τίνας, ὦ ἄνδρες ἀθηναῖοι, παραταξόμεθα; εἰσὶ δέ τινες οἱ παρ' ἡμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς. οἷς παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον, ὑπὲρ ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν. ἵν' αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες. ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν, αὐτὸν οὐ δίκαια ποιοῦντα. οὐ γάρ ἐστι δίκαιον, ὄντα πολίτην τοὺς καθ' ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ ὑμῶν ἐσκέφθαι. φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί δήποτε ἐν βυζαντίῳ, οὐδεὶς ἐσθ' ὁ διδάσκων ἐκείνους, μὴ καταλαμβάνειν χαλκηδόνα, ἣ βασιλέως μὲν ἐστιν, εἴχετε δ' ὑμεῖς αὐτὴν, ἐκείνοις δὲ οὐδαμόθεν προσήκει· μηδὲ σηλυμβρίαν, B πόλιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν, ὡς αὑτοῖς συντελῆ ποιεῖν· καὶ βυζαντίοις ὁρίζειν τὴν τούτων χώραν παρὰ τοὺς ὅρκους, καὶ τὰς συνθήκας, ἐν αἷς αὐτονόμους εἶναι γέγραπται; οὐδὲ μαυσώλου ζῶντος, οὐδὲ τελευτήσαντος ἐκείνου, τὴν ἀρτεμισίαν οὐδεὶς ἐσθ' ὁ διδάξων. μὴ καταλαμβάνειν κῶν, καὶ ῥόδον, καὶ πολλὰς πόλεις ἑτέρας ἑλληνίδας· ὧν καὶ βασιλεὺς, ὁ ἐκείνων δεσπότης, ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς ἕλλησι· καὶ περὶ ὧν πολλοὺς κινδύνους, καὶ καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους τοὺς χρόνους ἕλληνες ἐποιήσαντο. εἰ δ' ἄρα καὶ λέγει τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵ γε πεισόμενοι τούτοις, ὡς ἔοικεν, οὐκ εἰσίν. ἐγὼ δὲ, δίκαιον μὲν εἶναι νομίζω κατάγειν τὸν ῥοδίων δῆμον. οὐ μὴν, ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν· ὅταν εἰς ἃ ποιοῦσιν οὗτοι, βλέψω, προσήκειν οἶμαι παραινέσαι κατάγειν. διὰ τί; ὅτι πάντων μὲν, ὦ ἄνδρες ἀθηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμηκότων αἰσχρὸν ὑμᾶς μόνους μὴ ἐθέλειν. ἁπάντων δὲ τῶν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται C παρασκευαζομένων· μόνους ὑμᾶς τὰ δίκαια προτείνεσθαι, μηδενὸς ἀντιλαμβανομένους. οὐ δικαιοσύνην, ἀλλ' ἀνανδρίαν ἡγοῦμαι. ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύναμιν καὶ τῶν δικαίων ἀξιουμένους. καὶ παράδειγμα τούτου λέγειν ἔχω πᾶσιν ὑμῖν γνώριμον. εἰσὶ συνθῆκαι διτταὶ τοῖς ἕλλησι πρὸς βασιλέα. ἃς ἐποιήσατο ἡ πόλις ἡ ἡμετέρα ἃς ἅπαντες ἐγκωμιάζουσι. καὶ μετὰ ταῦτα ὕστερον λακεδαιμόνιοι, ταύτας ὧν δὴ κατηγοροῦσι. κἀν ταύταις, οὐχὶ ταὐτὰ δίκαια ἀμφοτέροις ὥρισται. τῶν μὲν γὰρ ἰδίων δικαίων τῶν ἐν ταῖς πολιτείαις, οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην, καὶ τοῖς ἀσθενέσι, καὶ τοῖς ἰσχυροῖς. τῶν δὴ ἑλληνικῶν δικαίων, οἱ κρατοῦντες, ὁρισταὶ τοῖς ἥττοσι γίνονται. ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια, καὶ ποιεῖν ὑπάρχει, ὅπως καὶ πρᾶξαι ταῦτα ἐφ' ὑμῖν ἔσται, δεῖ σκοπεῖν. ἔσται δὲ ταῦτα, ἐὰν ὑποληφθῆτε κοινοὶ προστάται τῆς πάντων ἐλευθερίας εἶναι. εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα, τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις. εἷς ἀγών ἐστιν ὁ πρὸς τοὺς προδήλους ἐχθρούς. ὧν ἐὰν κρατήσωσιν. οὐδὲν ἐμποδὼν αὐτοῖς κυρίοις τῶν ἀγαθῶν εἶναι. ὑμῖν δὲ, ὦ ἄνδρες ἀθηναῖοι, δύο· οὗτός τε ὁ καὶ τοῖς ἄλλοις καὶ πρόσεσθ' ἕτερος τούτου πρότερος, καὶ μείζων. δεῖ γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι τῶν τἀναντία τῇ πόλει παρ' ὑμῖν πράττειν προῃρημένων. ὅταν οὖν μηδὲν ᾖ διὰ τούτους ἀκονιτὶ τῶν δεόντων γίνεσθαι·

Ac ne idipſum quidem ei profuit. Cognoſcetis enim, cùm per Lacedæmonios vrbis noſtræ opes minuiſſet, eum à Clearcho & Cyro, ſuo ipſum regno ferè fuiſſe deiectum. Itaque neque palàm vicit, neque ei inſidiæ profuerunt. Video autem à veſtrûm quibuſdã Philippũ, vt nullius precij hominem, negligi ſæpe: Regem autem Perſarũ, vt potentem hoſtem, ſi quid inſtituerit, formidari. Atqui ſi nec illũ vt contemnendum vlciſcemur, & huic vt formidabili omnia concedemus: cum quibus tandem præliabimur? Sunt etiam quidam apud nos, in defendẽdis apud vos aliorum cauſis acerrimi: quib. ego hoc ſolum perſuaſerim, vt veſtrum ius apud alios tueri ſtudeant: quò ipſi primi iuris obſeruantes videãtur. Abſurdum enim eſt, eum de iure apud vos differere multa, qui ea quæ iuſta ſunt, ipſe negligat: cum iniuſtum ſit, accuſandis vobis, non defendendis vobis, paratum ac meditatum eſſe ciuem. Agite verò, per Deos conſiderate, cur tandem Byzantij nemo eſt, qui eos moneat, ne Chalcedonem occupẽt, quę & Regis eſt, & veſtra olim fuit, & nullo ab eis iure vendicantur? Néve Selybriam, quæ aliquando ſocietate vobiſcum coniuncta fuit, ad ſuam ipſi iuriſdictionem pertrahant? Néve horum agro Byzantij limites conſtituãt contra iuſiurandũ & fœdus, in quo ſui iuris eos eſſe ſcriptum eſt? Cur item nemo fuit, qui * Mauſolo vel viuẽte, vel defũcto, Artemiſiam docuerit: Con & Rhodũ non eſſe occupãdas, atque alias eius generis ciuitates Græcas: quibus etiã Rex ipſorum dominus, in fœdere ceſſit: & propter quas multa pericula & præclara certamina illorũ tẽporirum Græci ſubierunt? Atque vt maximè ſint qui vtriſque illis hæc dicant: at qui hiſce pareant, vt apparet, non ſunt. Ego verò, etiam iuſtum eſſe cẽſeo, vt Rhodiorum populus reſtituatur. Id verò tametſi iuſtum non eſſet, cum quæ iſti agunt, intueor, ſuadendum eſſe opinor, vt reducatur. Cur tandem id? Quoniã, ſi omnes colere iuſticiam inſtituiſſẽt: turpe foret, vos ſolos ab ea abhorrere. Cum verò cæteri omnes ita ſe parẽt, ius violare vt poſſint: ſi ſoli, neque tuendi ſint, ius prætendatis: eam ego non iuſtitiam, ſed ignauiam exiſtimarim: cum videã, vt quíque armati ſũt, ita etiam eos ius ſuum adipiſci. Cuius rei exemplum vobis omnib. notum referre poſſum. Duo fœdera Græci cum Rege Perſarũ habẽt: ea quæ noſtra vrbs fecit, quæ vniuerſi laudant: & poſt ea Lacedæmonij deinceps, ea nimirũ quæ culpant. atque in his non idem ius vtriſque definitum eſt. Nam priuati iuris in rebuſpublicis communem ęqualémque vſum dedere leges, tam infirmis quàm potentibus. Grçcum autem ius, hi qui rerum potiũtur, imbecillioríb. interpretantur & definiunt. Cum igitur hoc vobis relictum ſit, vt iuſta quæ ſunt, & intelligere, & dicendo explicari poſſitis: elaborandum eſt, in veſtra poteſtate vt ſit, eadem etiã adminiſtrare atq; exequi. Quod tum fiet, ſi vos communes libertatis omnium eſſe vindices exiſtimarint. Neq; verò mirũ mihi videtur, officio fungi vobis omniũ eſſe difficilimum. Nam cæteris hominib. vniuerſis, vnũ certamen eſt cũ hoſtib, manifeſtis: quos vbi vicerint, nihil eis obſtat, quò minus ſecurè partis bonis fruantur. Vobis aũt, Atheniẽſes, duo: cùm hoc quod & cæteris: tum verò accedit alterum, hoc prius & maius, quòd in deliberationib. vincendi & hi ſunt, qui reipub. aduerſari commodis apud vos, decreuerũt. Cum igitur per iſtos nihil abſq; magno labore confici ritè poſſit: fit, quod mirum non eſt,

Perſtringit Athenienſium ignauiam & oratorũ improbitatẽ, qui tumultuantibus cæteris omnibus, quieſcere iubeant Athenieſes.

vt multis in rebus erretis, & frustremini. Atque vt multi securè has in repub. partes suscipiant: in causa fortasse potissimum sunt, quæ à præbitoribus suis accipiunt, emolumenta: sed tamen vos etiam reprehendendi estis. Dicebat enim vos, Athenienses, eundem habere animum de ordine reipublicæ, quem de ordine militari habetis. Is igitur quis est? Vos desertorem assignati à duce ordinis, ignominia notandum censetis, & à repub. arcendum. Decet igitur, eos etiam qui ordinem in repub. traditum à maioribus deseruerunt, itaque se gerunt vt potentiæ paucorum studeant, honore dicendæ apud vos sententiæ priuari. Nunc socios, qui se vobiscū eosdem & amicos & hostes habituros iurarunt, beneuolentissimos existimatis: magistratus autē quos hostibus ciuitatis addictos esse liquidò nostis, eos pro fidelissimis habetis. Sed quod vel in illis accusetur, vel in cæteris vobis reprehendatur, difficile repertu non est. Quibus autem orationibus, aut quibus actionibus ea quæ praue nunc fiunt, corrigantur, id demum repertu est difficile. Ac de omnibus velle dicere, non est huius fortasse temporis. Sed si ea quæ instituistis, vtili quapiam actione confirmare poteritis: cætera etiam singula se fortasse melius habitura sunt. Ego igitur censeo, vobis harum rerum curam magno & constanti animo suscipiendam: easdémque pro reipublicæ dignitate conficiendas: vel hac de causa, quòd maiores vestros, & eorum præclara facinora prædicari, atque triumphos enumerari, cum voluptate auditis. Itaque cogitabitis, monimenta illa dedicata esse à maioribus non vt ea miremini, spectantes duntaxat: sed vt eorum qui ea consecrarunt, virtutes imitemini.

A reprehensione ad conclusionē transitus.

A πολλῶν διαμαρτάνειν ὑμᾶς εἰκότως συμβαίνει. τὸ μὲν τοι πολλοὺς ἀδεῶς ταύτην τὴν τάξιν αἱρεῖσθαι τῆς πολιτείας, ἴσως μὲν αἱ παρὰ τῶν μισθοδοτῶν αὐτοῖς ὠφέλειαι μάλιστ' αἴτιαι. οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι. ἐχρῆν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πολιτείᾳ τάξεως, ἥνπερ περὶ τῆς ἐν στρατείᾳ τάξεως ἔχετε. τίς οὖν ἐστιν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τοῦ στρατηγοῦ τάξιν ταχθεῖσαν, ἄτιμον οἴεσθε προσήκειν εἶναι καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. χρῆν τοίνυν καὶ τοὺς τὴν ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ πολιτείᾳ παραδεδομένην λιπόντας, καὶ πολιτευομένους ὀλιγαρχικῶς, ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν αὐτοὺς ποιεῖσθαι. νῦν δὲ τῶν μὲν συμμάχων τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ἕξειν ὑμῖν ὀμωμοκότας, νομίζετε εὐνουστάτους· τῶν δὲ πολιτευομένων, οὓς ἴστε, σαφῶς τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους, τούτους πιστοτάτους ἡγεῖσθε. ἀλλὰ γὰρ οὐχ ὅ, τι τις κατηγορήσει τούτων ἢ τοῖς ἄλλοις ὑμῖν ἐπιπλήξει, χαλεπὸν εὑρεῖν· ἀλλ' ἀφ' ὁποίων λόγων, ἢ ποίας πράξεως ἐπανορθώσεταί τις ἃ νῦν οὐκ ὀρθῶς ἔχει, τοῦτ' ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδὲ τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν. ἀλλ' ἐὰν ἃ προῄρησθε, δυνηθῆτε ἐπικυρῶσαι συμφερούσῃ τινὶ B πράξει, καὶ τἄλλ' ἂν ἴσως καθ' ἓν ἄμεινον χωροίη. ἐγὼ μὲν οὖν οἶμαι, δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τούτων τῶν πραγμάτων ἐρρωμένως καὶ πράττειν ἄξια τῆς πόλεως. ἐνθυμουμένους, ὅτι χαίρετε ἀκούοντες, ὅταν τις ἐπαινῇ τοὺς προγόνους ὑμῶν, καὶ τὰ πεπραγμένα ἐκείνοις διεξίῃ, καὶ τὰ τρόπαια λέγῃ. νομίζετε τοίνυν ταῦτα ἀναθεῖναι τοὺς προγόνους ὑμῶν, οὐχ ἵνα θαυμάζητε ταῦτα θεωροῦντες μόνον· ἀλλ' ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

LIBANII ARGVMENTVM IN Orationem pro *Megalopolitis.*

Lacedæmonij, quum ad Leuctra Bœotiæ oppidum victi à Thebanis, propter Arcadum defectionem, qui se ad Thebanos contulerant, in magno periculo essent: Atheniensium auxilio conseruati sunt. Post, iis discriminibus propulsatis, recuperatáque ex parte pristina potentia, Megalopolim Arcadiæ vrbem inuaserunt: postulata per legatos ab Atheniensibus eius belli societate. Miserunt & Megalopolitæ Athenas, qui auxilium peterent. Demosthenes igitur Atheniensibus autor est, ne vel excindi Megalopolim, vel opes Lacedæmoniorum crescere patiantur: cùm è republica sit eis terrori non esse Lacedæmonem.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ὑπὲρ τῶν μεγαλοπολιτῶν λόγου.

Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας, εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων, καὶ προσθεμένων τοῖς Θηβαίοις· Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι. διέσωσαν αὐτούς. ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες, καὶ προελθόντες πάλιν εἰς δύναμιν. ἐπὶ Μεγάλην C πόλιν τῆς Ἀρκαδίας ἤρχοντο. καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας, κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε, παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. ὁ τοίνυν Δημοσθένης, συμβουλεύει μὴ περιορᾶν* αἱρεθεῖσαν Μεγάλην πόλιν. μὴ δὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους· συμφέρειν λέγων τοῖς Ἀθηναίοις, τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

DEMOSTHENIS PRO MEGALOPOLITIS ORATIO, XVI. HIERONYMO VUOLFIO INTERPRETE.

Beneuolētiæ & attētionis captatio.

VTRIQVE mihi peccare videntur, Athenienses, tam qui Arcadibus, quàm ij qui Lacedæmoniis patrocinantur. Tanquam enim ab alterutris missi, non nostri ciues sint: apud quos illi vtrique legationem obeunt: sic mutuò se accusant, & criminantur: id quod legatis relinquendum fuit. Eorum enim qui consilium hic pollicentur, officium est, animis neutram in partem inclinantibus, dicere sententias: & sine contentionibus exquirere, quid vobis maximè conducat. Nunc sic equidem existimo, nisi noti essent, Atticéque loquerentur, fore

ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΥΠΕΡ ΤΩΝ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ ΛΟΓΟΣ.

Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι, καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ' ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο μὲν, τῶν ἀφιγμένων ἔργον. τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν, σκοπεῖν ἄνευ φιλονεικίας, τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν δ' ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι, καὶ τὸ τῇ φωνῇ λέγειν ἀττικῶς,